# Epimenidés z Knóssu

Fragmenta DK 3 B

*Θεογονία ἢ Χρησμοί. Κρητικά*

**B 1** /1 = Pseudo-Pavel z Tarsu, Ad Titum I, 12
εἶπέν τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν προφήτης·
Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.
ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής.

**B 1** /2 = Kléméns Alexandrijský, Stromata I, 59,1-2
τὸν δὲ ἕβδομον οἱ μὲν Περίανδρον εἶναι λέγουσιν τὸν Κορίνθιον οἱ δὲ Ἀνάχαρσιν τὸν Σκύθην οἱ δὲ Ἐπιμενίδην τὸν Κρῆτα, [ὃν Ἑλληνικὸν οἶδε προφήτην,] οὗ μέμνηται ὁ ἀπόστολος Παῦλος ἐν τῆι πρὸς Τίτον ἐπιστολῆι.

**B 1** /3 = Hieronymus, Comm. in ep. ad Tit. VII, 606 Migne
dicitur autem iste versiculus in Epimenidis Cretensis poetae Oraculis reperiri (...) denique ipse liber Oraculorum titulo praenotatur.

**B 1** /4 = Hieronymus, Ep. 70 (I, 666 M.)
cuius heroici hemistichium postea Callimachus usurpavit.
Cfr. Kallimachos, In Jovem I, 8:
„Κρῆτες ἀεὶ ψεῦσται“· καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο· σὺ δ᾽ οὐ θάνες· ἐσσὶ γὰρ αἰεί.

**B 1** /5 = Maximos z Tyru, Dialexeis 38 (p. 439, 14 Hobein = c. 22; p. 224 Dav.)
ἦλθεν Ἀθήναζε καὶ ἄλλος Κρὴς ἀνὴρ ὄνομα Ἐπιμενίδης· οὐδὲ οὗτος ἔσχεν εἰπεῖν αὑτῶι διδάσκαλον ἀλλ᾽ ἦν μὲν δεινὸς τὰ θεῖα, ὥστε τὴν Ἀθηναίων πόλιν κακουμένην λοιμῶι καὶ στάσει διεσώσατο ἐκθυσάμενος· δεινὸς δὲ ἦν ταῦτα οὐ μαθών, ἀλλ᾽ ὕπνον αὑτῶι διηγεῖτο μακρὸν καὶ ὄνειρον διδάσκαλον.

**B 1** /6 = Maximos z Tyru, Dialexeis 10 (p. 110,13 Hobein = c. 28; p. 286 Dav.)
ἀφίκετό ποτε Ἀθήναζε ἀνὴρ Κρὴς ὄνομα Ἐπιμενίδης κομίζων λόγον οὑτωσὶ ῥηθέντα πιστεύεσθαι χαλεπόν· [μέσης γὰρ] ἡμέρας ἐν Δικταίου Διὸς τῶι ἄντρωι

κείμενος ὕπνωι βαθεῖ ἔτη συχνὰ ὄναρ ἔφη ἐντυχεῖν αὐτὸς θεοῖς καὶ θεῶν λόγοις καὶ Ἀληθείαι καὶ Δίκηι. Τοιαῦτα ἄττα διαμυθολογῶν ᾐνίττετο, οἶμαι, ὁ Ἐπιμενίδης, ὡς ἄρα ὁ ἐν γῇ βίος ταῖς τῶν νθρώπων ψυχαῖς ὀνείρατι ἔοικεν μακρῷ καὶ πολυετεῖ.

**B 2** /1 = Aelianus Claudius, De natura animalium XII, 7
καὶ μέντοι καὶ τὸν Νεμεαῖον λέοντα τῆς σελήνης ἐκπεσεῖν φασι. λέγει γοῦν καὶ τὰ Ἐπιμενίδου ἔπη·

καὶ γὰρ ἐγὼ γένος εἰμὶ Σελήνης ἠυκόμοιο,
ἣ δεινὸν φρίξασ᾽ ἀπεσείσατο θῆρα λέοντα·
ἐν Νεμέαι δ᾽ ἄγχουσ᾽ αὐτὸν διὰ πότνιαν Ἥραν
[θείη ἳς ἐδάμασσε βίης Ἡρακληείης].

**B 2** /2 = Hérodóros in: Tatianos, Oratio ad Graecos 27-28
πῶς οὐκ ἠλίθιον πιθέσθαι τοῖς Ἡροδώρου βιβλίοις περὶ τοῦ καθ᾽ Ἡρακλέα λόγου, γῆν ἄνω κηρύττουσιν [τὴν σελήνην] κατεληλυθέναι τε ἀπ᾽ αὐτῆς λέοντα τὸν ὑφ᾽ Ἡρακλέους φονευθέντα;

**B 3** = Aristotelés, Politica I, 2; 1252b13
ἡ μὲν οὖν εἰς πᾶσαν ἡμέραν συνεστηκυῖα κοινωνία κατὰ φύσιν οἶκός ἐστιν, οὓς ὁ μὲν Χαρώνδας καλεῖ ὁμοσιπύους, Ἐπιμενίδης δὲ ὁ Κρὴς ὁμοκάπνους.

**B 4** = Aristotelés, Rhetorica III, 17; 1418a21
τὸ δὲ δημηγορεῖν χαλεπώτερον τοῦ δικάζεσθαι, εἰκότως, διότι περὶ τὸ μέλλον· ἐκεῖνο δὲ περὶ τὸ γεγονός, ὃ ἐπιστητὸν ἤδη καὶ τοῖς μάντεσιν, ὡς ἔφη Ἐπιμενίδης ὁ Κρής· ἐκεῖνος[?] γὰρ περὶ τῶν ἐσομένων οὐκ ἐμαντεύετο, ἀλλὰ περὶ τῶν γεγονότων, ἀδήλων δέ.

**B 5** /1 = Damaskios, De principiis 124; I,320,17 R. (Eudémos, fr. 117)
τὸν δὲ Ἐπιμενίδην δύο πρώτας ἀρχὰς ὑποθέσθαι Ἀέρα καὶ Νύκτα ..., ἐξ ὧν γεννηθῆναι Τάρταρον, οἶμαι τὴν τρίτην ἀρχήν, ὥς τινα μικτὴν ἐκ τῶν δυεῖν συγκραθεῖσαν, ἐξ ὧν δύο Τιτᾶνας (τὴν νοητὴν μεσότητα οὕτω καλέσαντα, διότι ἐπ᾽ ἄμφω ᾽διατείνει᾽ τό τε ἄκρον καὶ τὸ πέρας), ὧν μιχθέντων ἀλλήλοις ὠιὸν γενέσθαι .... ἐξ οὗ πάλιν ἄλλην γενεὰν προελθεῖν.

**B 5** /2 = Filodémos, De pietate 47a2; p. 19

(ἐν δὲ τοῖς εἰς Ἐπιμενίδην ἀναφερομένοις ἔπεσιν) ἐξ Ἀέρος καὶ Νυκτὸς τὰ πάντα συστῆναι [ὥσπερ καὶ] Ὅμηρος [ἀποφαί]νετ᾽ Ὠκεανὸν ἐκ Τηθύος τοὺς θεοὺς γεννᾶν [λέγων]· Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν (III, 201), [ἕτερός] τις δὲ Κρόνον τε καὶ Ῥέαν, οἱ δὲ [Δία καὶ] Ἥραν πατέρα καὶ μητέρα θεῶν νομίζουσιν.

**B 6** = Pausaniás, Periagogae VIII, 18, 2
Ἐπιμενίδης δὲ ὁ Κρὴς εἶναι μὲν καὶ οὗτος θυγατέρα Ὠκεανοῦ τὴν Στύγα ἐποίησε, συνοικεῖν δὲ αὐτὴν οὐ Πάλλαντι, ἀλλὰ ἐκ Πείραντος Ἔχιδναν τεκεῖν, ὅστις δὴ ὁ Πείρας ἐστί.

**B 7** = Filodémos, De pietate 46b7; p. 18 G.
τὰς Ἁρπ[υίας θεὰς] οὔσας ὑπ[ὸ τῶν Βορέου παί]δων ...
18 [Ἐπι]μενίδη[ς γὰρ Ὠκε]ανοῦ καὶ Γ[ῆς γεννήμα]τ᾽ εἶναι, π[ερὶ δὲ Ῥή]γιον [?] αὐ[τὰς φονευθῆ]ναί [?] φ[ησιν].

**B 8** = Filodémos, De pietate 61b 1; p. 46 G.
[ἐπιθέσθαι Τυφῶνα εἰρή]κα[σι τῆι βασιλείαι] Διός, [ὡς Αἰσχύλος] ἐν Προ[μηθεῖ καὶ Ἀ]κουσίλα[ος (9 B 7) καὶ Ἐπι]μενίδ[ης καὶ ἄλλοι] πολλοί. [παρ᾽ Ἐπι]μενίδηι [δ᾽ ἀναβὰς] Τυφὼν [καθεύδον]τος Διὸς [ἐπὶ τὸ βα]σίλειον, ἐ[πικρα]τήσ[ας δὲ τῶν πυλῶν] καθι[κέσθαι μὲν ἔσω], παρα[βοηθήσας δὲ] ὁ Ζεὺς [καὶ τὸ βασίλει]ον ἰδὼ[ν ληφθὲν κτεῖ]ναι λέγ[εται κεραυνῶι].

**B 9** = Filodémos, De pietate 92, 24; p. 43 G.
καὶ τὰς Ἁρπυίας τὰ μῆ[λα φ]υλάττειν Ἀκο[υσίλ]αος (9 B 5), Ἐπιμενίδης δὲ καὶ τοῦτο καὶ τὰς αὐτὰς εἶναι ταῖς Ἑσπερίσιν.

**B 10** = Plútarchos, Solon 12
τὸ δὲ μέγιστον, ἱλασμοῖς τισι καὶ καθαρμοῖς καὶ ἱδρύσεσι κατοργιάσας καὶ καθοσιώσας τὴν πόλιν ὑπήκοον τοῦ δικαίου καὶ μᾶλλον εὐπειθῆ πρὸς ὁμόνοιαν κατέστησε. λέγεται δὲ τὴν Μουνιχίαν ἰδὼν καὶ καταμαθὼν πολὺν χρόνον εἰπεῖν πρὸς τοὺς παρόντας, ὡς τυφλόν ἐστι τοῦ μέλλοντος ἄνθρωπος· ἐκφαγεῖν γὰρ ἂν Ἀθηναίους τοῖς αὑτῶν ὀδοῦσιν, εἰ προήιδεσαν ὅσα τὴν πόλιν ἀνιάσει τὸ χωρίον.

**B 11** = Plútarchos, De defectu oraculorum 1; p. 409e
ἀετούς τινας ἢ κύκνους ... μυθολογοῦσιν ἀπὸ τῶν ἄκρων τῆς γῆς ἐπὶ τὸ μέσον φερομένους εἰς ταὐτὸ συμπεσεῖν Πυθοῖ περὶ τὸν καλούμενον ὀμφαλόν· ὕστερον δὲ

χρόνωι τὸν Φαίστιον ᾿Επιμενίδην ἐλέγχοντα τὸν μῦθον ἐπὶ τοῦ θεοῦ καὶ λαβόντα χρησμὸν ἀσαφῆ καὶ ἀμφίβολον εἰπεῖν·

οὔτε γὰρ ἦν γαίης μέσος ὀμφαλὸς οὔτε θαλάσσης·
εἰ δέ τις ἔστι, θεοῖς δῆλος, θνητοῖσι δ᾿ ἄφαντος.

**B 12** = Scholia Apollonium Rhodium II, 1122
τούτους δὲ ῾Ηρόδωρός (FGrHist. 31 F 39 I 223) φησιν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός, ᾿Ακουσίλαος (8 B 25) δὲ καὶ ῾Ησίοδος ἐν ταῖς Μεγάλαις ᾿Ηοίαις (fr. 152; Rz. 2) φασὶν ἐξ ᾿Ιοφώσσης τῆς Αἰήτου. καὶ οὗτος (Apoll. II,1155) μέν φησιν αὐτοὺς τέσσαρας· ῎Αργον, Φρόντιν, Μέλανα, Κυτίσωρον. ᾿Επιμενίδης δὲ πέμπτον προστίθησι Πρέσβωνα.

Cfr. Apollónios Rhod., Argonautica II, 1155:

τῷδε Κυτίσσωρος πέλει οὔνομα, τῷδέ τε Φρόντις,
τῷ δὲ Μέλας, ἐμὲ δ' αὐτὸν ἐπικλείοιτέ κεν ῎Αργον.

**B 13** = Scholia Apollonium Rhodium III, 242
᾿Επιμενίδης δέ φησι Κορίνθιον τῶι γένει τὸν Αἰήτην, μητέρα δὲ αὐτοῦ ᾿Εφύραν φησί.

**B 14** = Scholia Apollonium Rhodium IV, 57
᾿Επιμεν. δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναί φησι τῆς ῞Ηρας· διόπερ Διὸς αλεπήναντος αἰτήσασθαι διὰ παντὸς καθεύδειν.

**B 15** = Scholia in Euripidem Phoen. 13
᾿Επιμενίδης Εὐρύκλειαν τὴν ῎Εκφαντός φησιν αὐτὸν γεγαμηκέναι, ἐξ ἧς εἶναι τὸν Οἰδίποδα.

**B 16** /1 = Scholia in Euripidem Rhes. 36
᾿Επιμενίδης δὲ Καλλιστοῦς καὶ Διὸς παῖδας γεγενῆσθαι Πᾶνα καὶ ᾿Αρκάδα διδύμους.

**B 16** /2 = Scholia in Theocritum Ambr. I, 3; p. 28 W.
᾿Επιμενίδης δὲ ἐν τοῖς ποιήμασιν Διὸς καὶ Καλλιστοῦς Πᾶνα καὶ ᾿Αρκάδα διδύμους.

**B 17** = Scholia in Pindarum Olym. I, 127

τούτωι τῶι ἀριθμῶι τῶν ἀπολομένων μνηστήρων καὶ Ἡσίοδος (fr. 147 Rz.) καὶ Ἐπιμενίδης συμμαρτυρεῖ.

**B 18** = Scholia in Pindarum Olym. VII, 24
Ἡρόφιλος δὲ Ποσειδῶνος καὶ Ἀφροδίτης τὴν Ῥόδον εἶναί φησιν, Ἐπιμενίδης δὲ αὐτὴν Ὠκεανοῦ γενεαλογεῖ, ἀφ᾽ ἧς τὴν πόλιν ὠνομάσθαι.

**B 19** = Scholia in Sophoclem Oed. Col. 42
Ἐπιμενίδης Κρόνου φησὶ τὰς Εὐμενίδας·

ἐκ τοῦ καλλίκομος γένετο χρυσῆ Ἀφροδίτη
Μοῖραί τ᾽ ἀθάνατοι καὶ Ἐρινύες αἰολόδωροι.

*Κρητικά*

**B 20** = Diodóros Siculus, Bibliotheca historica V, 80
ἐπεὶ δὲ τῶν τὰ Κρητικὰ γεγραφότων οἱ πλεῖστοι διαφωνοῦσι πρὸς ἀλλήλους, οὐ χρὴ θαυμάζειν, ἐὰν μὴ πᾶσιν ὁμολογούμενα λέγωμεν· τοῖς γὰρ τὰ πιθανώτερα λέγουσι καὶ μάλιστα πιστευομένοις ἐπηκολουθήσαμεν, ἃ μὲν Ἐπιμενίδηι τῶι θεολόγωι προσσχόντες, ἃ δὲ Δωσιάδηι καὶ Σωσικράτει καὶ Λαοσθενίδαι.

**B 21** = Arátos, Phaenomena 163-164

Αἴξ ἱερή, τὴν μέν τε λόγος Διὶ μαζὸν ἐπισχεῖν·
Ὠλενίην δέ μιν Αἶγα Διὸς καλέουσ᾽ ὑποφῆται.

**B 22** = Arátos, Phaenomena 30

... εἰ ἐτεὸν δή,
Κρήτηθεν κεῖναί γε Διὸς μεγάλου ἰότητι
οὐρανὸν εἰσανέβησαν, ὅ μιν τότε κουρίζοντα
δίκτωι ἐν εὐώδει ὄρεος σχεδὸν Ἰδαίοιο
ἄντρωι ἐγκατέθεντο καὶ ἔτρεφον, εἰς ἐνιαυτὸν
Δικταῖοι Κούρητες ὅτε Κρόνον ἐψεύδοντο.

**B 23** = Scholia in Aratum 46 (349, 23 M.)
φέρεται δὲ περὶ τοῦ Δράκοντος Κρητικὸς μῦθος, ὡς ἄρα ἐπιόντος ποτὲ τοῦ Κρόνου ὁ Ζεὺς εὐλαβηθεὶς ἑαυτὸν μὲν εἰς δράκοντα μετεμόρφωσε, τὰς δὲ τροφοὺς εἰς

ἄρκτους καὶ ἀπατήσας τὸν πατέρα μετὰ τὸ προλαβεῖν τὴν βασιλείαν τὸ συμβὰν ἑαυτῶι τε καὶ ταῖς τροφοῖς τῶι ἀρκτικῶι ἐνεστήριξε κύκλωι.

**B 24** = Pseudo-Eratosthenés, Catasterismi 27
Αἰγοκέρως. οὗτός ἐστι τῶι εἴδει ὅμοιος τῶι Αἰγίπανι· ἐξ ἐκείνου γὰρ γέγονεν· ἔχει δὲ θηρίου τὰ κάτω μέρη καὶ κέρατα ἐπὶ τῆι κεφαλῆι· ἐτιμήθη δὲ διὰ τὸ σύντροφος εἶναι τῶι Διί, καθάπερ Ἐπιμενίδης ὁ τὰ Κρητικὰ ἱστορῶν φησιν, ὅτι ἐν τῆι Ἴδηι συνῆν αὐτῶι, ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστράτευσεν· οὗτος δὲ δοκεῖ εὑρεῖν τὸν κόχλον, ἐν ὧι τοὺς συμμάχους καθώπλισε, διὰ τὸ τοῦ ἤχου Πανικὸν καλούμενον, ὃ οἱ Τιτᾶνες ἔφυγον. παραλαβὼν δὲ τὴν ἀρχὴν [Ζεύς] ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκε καὶ τὴν Αἶγα τὴν μητέρα. διὰ δὲ [τὸ] τὸν κόχλον [εὑρεῖν] ἐν τῆι θαλάσσηι παράσημον ἔχει ἰχθύος [οὐράν].

**B 25** = Pseudo-Eratosthenés, Catasterismi 5 (Marc.); p. 5, 21 Olivieri
[περὶ τοῦ Στεφάνου] οὗτος λέγεται ὁ τῆς Ἀριάδνης (...) ὅ τε τὰ Κρητικὰ γεγραφὼς λέγει, [ὅτι] ὅτε ἦλθε Διόνυσος πρὸς Μίνω φθεῖραι βουλόμενος αὐτήν, δῶρον αὐτῆι τοῦτον δέδωκεν, ὧι ἠπατήθη ἡ Ἀριάδνη. Ἡφαίστου δὲ ἔργον εἶναί φασιν ἐκ χρυσοῦ πυρώδους καὶ λίθων Ἰνδικῶν ... ἐν δὲ τοῖς ἄστροις ὕστερον αὐτὸν τεθηκέναι.

**B 26** = Lydus Joannes Laurentius, De mensibus IV, 17
οἱ δὲ περὶ Ἐπιμενίδην ἄρρενα καὶ θήλειαν ἐμύθευσαν τοὺς Διοσκόρους, τὸν μὲν αἰῶνα ὥσπερ μονάδα, τὴν δὲ φύσιν ὡς δυάδα καλέσαντες· ἐκ γὰρ μονάδος καὶ δυάδος ὁ πᾶς ζωογονικὸς καὶ ψυχογονικὸς ἐξεβλάστησεν ἀριθμός.